BA [6]Τότε καλέσας τοὺς δύο κρυπτῶς εἶπεν αὐτοῖς Εὐλογεῖτε τὸν θεὸν 6
καὶ αὐτῷ ἐξομολογεῖσθε, μεγαλωσύνην δίδοτε αὐτῷ καὶ ἐξομολο-
γεῖσθε ἐνώπιον πάντων τῶν ζώντων περὶ ὧν ἐποίησεν μεθ᾽ ὑμῶν·
ἀγαθὸν τὸ εὐλογεῖν τὸν θεὸν καὶ ὑψοῦν τὸ ὄνομα αὐτοῦ, τοὺς
λόγους τῶν ἔργων τοῦ θεοῦ ἐντίμως ὑποδεικνύοντες, καὶ μὴ
ὀκνεῖτε ἐξομολογεῖσθαι αὐτῷ. [7]μυστήριον βασιλέως καλὸν κρύψαι, 7
τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν ἐνδόξως. ἀγαθὸν ποιήσατε, καὶ
κακὸν οὐχ εὑρήσει ὑμᾶς. [8]ἀγαθὸν προσευχὴ μετὰ νηστείας καὶ ἐλε- 8
ημοσύνης καὶ δικαιοσύνης· ἀγαθὸν τὸ ὀλίγον μετὰ δικαιοσύνης ἢ
πολὺ μετὰ ἀδικίας· καλὸν ποιῆσαι ἐλεημοσύνην ἢ θησαυρίσαι χρυ-
σίον. [9]ἐλεημοσύνη γὰρ ἐκ θανάτου ῥύεται, καὶ αὐτὴ ἀποκαθαριεῖ 9
πᾶσαν ἁμαρτίαν· οἱ ποιοῦντες ἐλεημοσύνας καὶ δικαιοσύνας πλη-
σθήσονται ζωῆς· [10]οἱ δὲ ἁμαρτάνοντες πολέμιοί εἰσιν τῆς ἑαυτῶν 10
ζωῆς. [11]οὐ μὴ κρύψω ἀφ᾽ ὑμῶν πᾶν ῥῆμα· εἴρηκα δή Μυστήριον 11
βασιλέως κρύψαι καλόν, τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν ἐνδό-
ξως. [12]καὶ νῦν ὅτε προσηύξω σὺ καὶ ἡ νύμφη σου Σαρρα, ἐγὼ 12
προσήγαγον τὸ μνημόσυνον τῆς προσευχῆς ὑμῶν ἐνώπιον τοῦ ἁγίου·

6 τοτε] και B† | εξομολ. 1⁰ ⌒ 2⁰ A† | εξομολ. 2⁰] + αυτω B | υψουν] -οιν B†: cf. Thack. § 22, 4 || 7 κρυψαι] κρυπτειν A | ενδοξως BA] -ξον compl.: item in 11 | αγαθον — fin. > A† || 8 ποιησαι] pr. το A || 9 γαρ > B || 11 δη B†] δε rel.

---

S [6]Τότε ἐκάλεσεν τοὺς δύο κρυπτῶς καὶ εἶπεν αὐτοῖς Τὸν θεὸν 6
εὐλογεῖτε καὶ αὐτῷ ἐξομολογεῖσθε ἐνώπιον πάντων τῶν ζώντων ἃ
ἐποίησεν μεθ᾽ ὑμῶν ἀγαθά, τοῦ εὐλογεῖν καὶ ὑμνεῖν τὸ ὄνομα αὐ-
τοῦ· τοὺς λόγους τοῦ θεοῦ ὑποδείκνυτε πᾶσιν ἀνθρώποις ἐντίμως
καὶ μὴ ὀκνεῖτε ἐξομολογεῖσθαι αὐτῷ. [7]μυστήριον βασιλέως κρύ- 7
πτειν καλόν, τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν καὶ ἐξομολογεῖσθαι
ἐντίμως. τὸ ἀγαθὸν ποιεῖτε, καὶ κακὸν οὐχ εὑρήσει ὑμᾶς. [8]ἀγαθὸν 8
προσευχὴ μετὰ ἀληθείας καὶ ἐλεημοσύνη μετὰ δικαιοσύνης μᾶλλον
ἢ πλοῦτος μετὰ ἀδικίας· καλὸν ποιῆσαι ἐλεημοσύνην μᾶλλον ἢ
θησαυρίσαι χρυσίον. [9]ἐλεημοσύνη ἐκ θανάτου ῥύεται, καὶ αὐτὴ ἀπο- 9
καθαίρει πᾶσαν ἁμαρτίαν· οἱ ποιοῦντες ἐλεημοσύνην χορτασθήσον-
ται ζωῆς· [10]οἱ ποιοῦντες ἁμαρτίαν καὶ ἀδικίαν πολέμιοί εἰσιν τῆς 10
ἑαυτῶν ψυχῆς. [11]πᾶσαν τὴν ἀλήθειαν ὑμῖν ὑποδείξω καὶ οὐ μὴ 11
κρύψω ἀφ᾽ ὑμῶν πᾶν ῥῆμα· ἤδη ὑμῖν ὑπέδειξα καὶ εἶπον Μυστή-
ριον βασιλέως καλὸν κρύψαι καὶ τὰ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν
ἐνδόξως. [12]καὶ νῦν ὅτε προσηύξω καὶ Σαρρα, ἐγὼ προσήγαγον 12
τὸ μνημόσυνον τῆς προσευχῆς ὑμῶν ἐνώπιον τῆς δόξης κυρίου·

7 ανακαλ. κ. εξομολογεισθαι Ra.] εξομολογεισθαι κ. ανακαλ. κ. εξομολογεισθε S

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1083 UNIVERSITÄT LEIPZIG